# Epitaphium Reverendi Viri, Henrici Strevii, Theologiae Licentiati, Ecclesiae Dei apud Rostochienses Ministri, et Academiae Professoris

Φέρτατόν ἐστι γέρας καὶ ἔργον ἄριστον ἁπάντων,
ὀρθοτομεῖν διδαχὴν ἀθανάτοιο Θεοῦ,
ἥντινα ἐκ πατρὸς κρυπτοῦ κόλποιο ᾿Ιησοῦς
πρόσφερέ λαοσόος καὶ φανερῶσε βροτοῖς.
αὕτη κάλλιστος καὶ τιμηέστατός ἐστι
θησαυρὸς πάντων, ὅσσα ἡ αἶα ἔχει.
οἵτινες ἐν θνητοῖς τοῦτον σπείρουσιν ἀκριβῶς,
κήρυκες κεῖνοι εἰσι Θεοῖο φίλοι,
Τοῖς στέφανον δόξης δώσει ἀμαράντινον αὐτὸς
ἄρχων κηρύκων ἐσχάτῃ ἐν κρίσει.
τὸν στέφανον θεῖον καὶ νῦν ἀναμίμνει ἀγαυός
Στρήβιος, ὅς πιστὸς πρόσπολος ἔσκε Θεοῦ.
καὶ ταχέως ὅδ ᾿ ἀναστήσει ζῶς, οὐκ ἔτι θνητὸς,
ἑσσάμενος δύναμιν καὶ κλέος ἀίδιον.

Epitaphium

Clarissimi viri, Johannis Tynnichei, Artum et Medicinae Doctoris ac Professoris Academiae Rostochiensis:

Et honestissimae Coniugis eius Catharinae Brokers,

ac filiolae Margaretae, qui una die 22. Septembris extincti sunt.

᾿Ενθάδε κοιμᾶται πολλῶν ἀντάξιος ἄλλων
ἰητρὸς ξυνετὸς καὶ μάλα χρηστὸς ἀνήρ.
τέχνης εὖ εἰδὼς νοσίμους ἰήσατο ἄλλους,
παντοίους πιστῶς ἠδὲ καὶ ὀτραλέως,
ἄλλους ἴατο φρονίμως, ὥσκ᾿ αὐτὸς ὄλληται,
ἄλλους ῥυσάμενος σφὸν μὲν ὄλεσκε βίον.
τούτου ἀποφθιμένου ἔτι οὐκ ἔθελον βιοτεύειν
ἡ θυγάτηρ ἁπαλὴ καὶ χαρίεσσα γυνή.
ἀλλὰ καθὼς ἐν τῷδε βίῳ μέτοχοι ἐγένοντο,
οὕτως ἐν θανάτῳ πιστοὶ ὀπαδοὶ ἔσαν.
νῦν γοῦν συζῶσιν μακάρως, οἱ σύνθανον ἁγνῶς,
καὶ κλείουσι θεὸν χώρῳ ἐν οὐρανίων.
Τουνιχέως στέρομεν τέχνης πολὺ φερτάτου ἀνδρός,
ἡμῖν ἰητρὸς Χριστὲ σὺ ἴσθι φίλος.

Epicedion
Scriptum Clarissimo Viro Eruditione ac Virtute Praestanti, Iohanni Bocero,
Poetae Laureato et I.V. Licentiato,
Professorique Academiae Rostochiensis.

Νημερτὲς βίος οὐκ εἴη βίος, αὐτὰρ ὀιζύς,
εἰ μὴ ὑπῆρχεν ἐὺς ἄλλος ἔπειτα βίος.
πρὸς τοῦτον βίον οὐράνιον θειόν τε βλέποντες
εὐσεβέες καλῶς πάντα φέρουσι κακὰ.
εὖ γὰρ ἴσασι βίου ἐπιγείου πήματα πάντα
ἄξια οὐκ εἶναι χάρματος ἀιδίου
ᾧτινι τέρψονται ἐν ᾿Ολύμπῳ ἀστερόεντι,
κλείοντες Χριστὸν παμμεδέοντα ἐὸν.
ταῦτα κατὰ φρένα φραζόμενος πρόφρων ὁ ΒΟΚΗΡΟΣ
ἐν χαλεποῖσι κακοῖς οὐκ ἀπίθησε Θεῷ.
ἀλλ᾿ ἐν ἐῇς ὀδύνῃς καὶ νούσοις γυιοκόροισιν
ἤην καρτερικὸς, Χριστῷ ἀεὶ πίσυνος.
ἠδ᾿ ὅτε κυδάλιμος φίλα ἔλλιπε ὀστέα θυμὸς,
πνεῦμα ἐπέτρεπεν ἐις χεῖρας ᾿Αλεξικάκου,
ὃς νῦν ὀφθαλμῶν αὐτοῦ ἀπεμόρξατο δάκρυ
πᾶν, αὐτὸν πληρῶν ἀιδίοιο χαρᾶς.
ἔσκε μὲν ἀτρεκέως τιμῆεν κτῆμα Βοκῆρος,
ἠδὲ μέγας κόσμος τοῦ χοροῦ ἡμετέρου.
ἐκ Θεοῦ εἰσὶν ἀοιδοὶ ἐπὶ χθονὶ καὶ βασιλῆες,
κλαίομεν οὖν τούτου μὴ ἀεικῶς πότμον ἀοιδοῦ,

ὃς φίλος ἡμέτερος δηθὰ συνεργὸς ἔην.
αὐτὰρ ἅπαξ θανέειν πᾶσιν πεπρωμένον ἐστὶν,
οὐδείς τ ’ ἐκφεύγει τοῦ θανάτοιο βίην.
ταῦτ ’ ὅτι εὖ ἴδμεν, πράως μὲν τοῦτο φέρωμεν,
οὐδεὶς ἀλλάττειν ὅττι βροτῶν δύναται.
νόσφι μεριμνάων τε γὰρ ἀλγῶν ζῶσιν ἅπάντων,
οἵτινες ἐν Χριστῷ κάτθανον εὐσεβέως.

## Epitaphium Iohannis Boceri

᾿Ιλαδὸν ἁρπάζει θάνατος μέλας ἄνδρας ἀρίστους,
λείπει δ ᾿ οὐτιδάνους βωμολόχους τε βροτούς.
῾Ως νῦν εἷλε κακῶς ὄνομα κλυτὸν ἄνδρα Βοκῆρον,
ποιητῶν ἱερῶν ᾿Ορχαμον ἀγχίνοον.
᾿Αλλὰ τί νῦν μοῦσαι θαλερὸν κατὰ δάκρυ χέουσαι
κλαίετε τὸν δοῦλον Κάλλιμον ὑμέτερον;
Νόσφιν ἄτερ καμάτων βιοτεύει ὁ θεῖος ἀοιδός
προσδέχεται ἐύφρων ῏Ημαρ ἀναστάσιμον.
Νήδυμον ἐυκήλως ἅμα καὶ γλυκὺν ὕπνον ἰαύει,
θυμὸν ἀναψύχων ῾Ρήματι ἐσπεσίῳ.
῞Ηδεται ἡδίστῃ διατριβῇ οὐρανιώνων,
θεῖον ὀπὶ κλείων Οὔνομα ἀκαμάτῳ.
Σοῖς τένοισι φίλοις βασιλεῦ ἐπάρηγε ᾿Ιησοῦ,
λοιμὸν ἀπωσάμενος Σῶζέ τε τὴνδε πόλιν.

Epitaphium
Honestissimae atque Integerrimae Matronae Mariae,
Coniugis I. Iohannis Boceri.

Μάνθανε ἐμμαπέως ὅτις ἐσσὶ, φέριστε ὁδίτα,
τὶς θνητῶν ἐτάφη ἐνθάδε ὠκυμόρων.
Αἰδοίης Μαρίας σεμνὸν δέμας αἶα καλύπτει
ὧδε, ἀτὰρ ψυχὴν οὐρανὸς εὐρὺς ἔχει.
῾Ρῆμα θεοῖο γυνὴ τίεσκε φερέσβιον αὕτη,
καὶ φίλον ἐκ θυμοῦ ἄνδρα γέραιρεν ἐόν.
᾿Ιθύνεν συνετῶς σφέτερον δόμον, ἠδὲ ἐς ὄχλον
εἶρπεν μὴ εἰκῇ, ἔργα κόμιζεν ἐὰ.
᾿Ασθενὲς οὖν μελέων ἀπεδύσατο πᾶν χαριέντων,
καὶ μετὰ τοῦ Χριστοῦ ζώει ἀεὶ μακάρως.

Epitaphium
Clarissimi Viri, Eberhardi Lothmanni,
I.V. Licentiati et Academiae Rostochiensis Professoris.

᾿Ανθρώποισι βροτοῖς θανέειν πέπρωται ἅπασιν,
οὐδείς τ᾿ ἐκφεύγει κῆρα τανηλεγέα.
φευξόμενος θάνατον ποτὶ κίμβρους ὑγρὰ κέλευθα
ἔπλεον ἰφθίμους πόντῳ ἐπ᾿ ἀτρυγέτῳ,
αὐτὰρ ἐμοιγε πατὴρ θεὸς οὐκ ἐτέλεσσεν ἐέλδωρ,
ἐγκόπτων νόστον πατρίδ᾿ ἐς αἶαν ἐμήν.
ἐνθάδε γοῦν κεῖμαι μετανάστης ὕπνον ἰαύων
μαλθακὸν, οὐρανόθεν ψυχοδοτῆρα μένων.
ἐστὶ μὲν ἀργαλέον θάπτεσθαι ἄλλοθε γαίης,
νόσφι φίλης πάτρας καὶ τοκέων ἐρατῶν·
πάντ᾿ ὅδι δ᾿ εὐ θνήσκει, μακάρως καὶ θυμὸν ἀίσθει,
ἐν Χριστῷ ὅστις θνήσκει ἐπισταμένως.
νῦν ἔρρωσθε γύναι φίλη ἠδὲ καὶ ὄρφανα τέκνα.
φίλτατα, καὶ ἕταροι χαίρετε κεδνότατοι.
καὶ γὰρ ἐγὼ πρόαγον μεγάλου ἰότητι θεοῖο,
ὑμεῖς δ᾿ ἕψεσθε, πρίν γε νομίζετ᾿ ἐμοί.

Epitaphia Clarissimi Viri, Josephi Vurtzleri, Medicinae licentiati, Professorisque Academiae Rostochiensis: Et Integerrimae Coniugis eius, Margaretae, filiae Venerandi Senis, M. Arnoldi Burenii, de Schola et multorum studiis optime meriti.

᾿Εστὶν ὁδὸς βρότεος βίος, εὐσεβέας μὲν ἄγουσα
μακρὸν ἐς οὔλυμπον, Τάρταρον ἐς δ᾿ ἀσεβεῖς.
ὅστις ὁδὸν συνετῶς νῦν τῇνδε πορεύεται, οὗτος
ἐστὶ σοφός, πρόφρων, ὄλβιος, ἰσόθεος.
αὐτὰρ πάμπολλοι ταύτης σφάλλονται ὁδοῖο
κεδνοτάτης θνητοὶ ἀφραδίῃσι νόου.
ἠδὲ προτιμῶνται τὰ ἐφήμερα καὶ ἀβέβαια
`πλούτων οὐρανίων, τῶν κτεάτων μονίμων.
ἴδμονες οὖν ἦσαν συνετοί τ᾿ πολύτημος ᾿Ιωσήφ
ἠδὲ γυνὴ αὐτοῦ Μάργαρις ἠύκομος,
εὖ καὶ ἐπισταμένως ὅτ᾿ ἐπὶ χθονὶ ἀμφιπόλευσαν
ζητοῦντες σπουδῇ ἄστυ ἐπουράνιον,
ὅππη νῦν βιοτεύοντες μεγαλεῖα θεοῖο
εἰσορόωσιν ἑοῖς ὄμμασι θεσπεσίοις.
ταῦτ᾿ ὅτι οἶσθα σαφῶς, Βουρήνιε ποικιλόμυθε
μηδὲν ἄγαν στεναχῇς ἦτορ ἔρεχθε φίλον.
καὶ γὰρ ἔχουσι καλῶς θυγάτηρ τεὴ ἠδὲ ὁ γαμβρός
ἱέμενοι προσόδου κλειτὲ γεραιὲ τεῆς.

Epitaphium Doctissimi viri, Iochimi Reimari, I.V. Licentiati,
et Honestissimae feminae, Elisabethae Fresen, coniugis eius.

᾿Ανδρὶ ἐπισταμένῳ ἧς πατρίδος ἠδὲ τοκήων
οὐδὲν ἔφυ γλύκιον καὶ ἅμα τερπνότερον,
ἐστὶ δὲ χριστιανῶν ἐνὶ οὐρανῷ εὐρεῖ ὑπερθεν
πάτρις νημερτὴς ἀμβροσίη τε μονή.
πρὸς ταύτην ἁγίων συμπάντων πατρίδ ᾿ ἀληθῆ
οἵδε μετῴκησαν σύζυγοι ἀμφότεροι.
ἔνθα ὁμιλοῦσιν κάλλιστα τοκῆι τοκήων
πάντων, τῷ μεγάλῳ παμμεδέοντι θεῷ.
ἠδὲ βλέπουσι σαφῶς, ὅσ ῾ ἐπίστευσαν μετεόντες
ἀνθρώποισι βροτοῖς ἐν χθονὶ πυροφόρῳ.
τούνεκα συγγενέες μακάρους μὴ κλαίετε τούτους.
μαψιδίως κλαίειν οὐ θέμις ἐστὶ σοφοῖς.

Epitaphium

Modestae, Piae ac Ingeniosae Adolescentulae, Telsae,
filiae Clarissimi Viri, nobilitate generis, virtute et prudentia Praestantis,
D. Caspari Paselick, Serenissimi Daniae Regis Consiliarii.

Τίπτε τοκῆες ἐμὸν λίην δακρύετε οἶτον
φίλτατοι, ἀργαλέῳ θυμὸν ἔδοντες ἄχει;
οὐ γὰρ ὄλωλα ἐγὼ πολὺ φίλτατοι, αὐτὰρ ἁπάντων
νῦν ῥυσθεῖσα κακῶν εὐφροσύνως διάγω.
νηπιάχοις ἁπαλοῖς Χριστὸς φρεσὶ τέρπεται αἰνῶς,
οὓς διὰ Βαπτισμὸν πρός μιν ἄγουσι βροτοί.
τούσδε ἐν ἀγκαλίδεσσι λαβὼν ἱερῇς ἀγαπάζει,
τούσδε φιλεῖ μεγάλως ἠδὲ καὶ εὐλαγέει.
οὗτος καὶ ψυχὴν ἐσάωσεν ἐμὴν ἐρόεσσαν
πασῶν δ ᾽ εὐφροσυνῶν θυμοβόρων τε γόων.
τόνδε κατακλείειν ἐμὸν οὔτετι χρὴ μακάρισμον
ὦ τοκέες γεραροὶ συγγενέες τε φίλοι.
ὥσπερ ἔγωγε θάνον, μάκαρόν τε καὶ οἶτον ἐπέσπον,
ὡς χ ᾽ ὑμῖν μελέτω εὖ ὁσίως τε θανεῖν.

## Epitaphium
## Ornatissimi Viri, M. Petri Sassii,
## Academiae Rostochiensis Professoris

Τεχναι ἐλευθερίαι, κατὰ τὸν Ξενοφῶντα, ἔασι
πηγαὶ παμπόλλων ἐν χθόνι τῇδε καλῶν.
τάσδ ' ἐδίδασκε νεοὺς θαλεροὺς πιστῶς καὶ ἀκριβῶς
Σάσσιος ἐκγεγάως κυδαλίμοιο πατρὸς.
πολλῇς καίπερ ἐπιστήμῃς ἀγαθῇς ἐκέκαστο,
φερτάτη ἔσκεν ὅμως τοῦδε ἡ εὐσεβίη.
πλούτων συμπάντων καὶ δόξης λυσιμερίμνου
προυτίμα ἱερὸν ῥῆμα θεοῖο ἀεί.
πλούσιος οὖν ἤδη τε καὶ ὄλβιος ἐστὶν ἀληθῶς,
καὶ γελάει πλοῦτον κόσμου ὑπερφίαλον.
πλοῦτος νημερτὲς πέλει ἔμπεδος ἠδὲ βέβαιος,
ὅντινα ῥῆμα μόνον δεικνύει οὐράνιον.

## Epitaphium
## Piae et Modestae Virginis, Barbarae, Filiae Reverendi et Clarissimi Viri, D. Doctoris Davidis Chytraei, Professoris Academiae Rostochiensis

ὅντινα νημερτὲς φιλέει Θεὸς ἀστεροπητής
οὗτος ἀποθνήσκει παῖς ἔτι μικρὸς ἐών.
οὐ γὰρ ἐᾷ ὁ Θεὸς θυμὸν κείνοιο ἀθῷον
φθείρεσθαι ἀπάτῃς κόσμου ἁμαρτινόου.
αἰὼν μὲν μακρὸς μακρὰς τίκτει μελεδώνας,
αὐξεί τ᾽ ἀμπλακίας ἀργαλέην τε τίσιν.
λέξω ἐγὼ βραχέως, μὲ λέγειν ὁ, τι θυμὸς ἀνώγει,
οὐποτ ᾽ ἔην κακίων τοῦδε πάροιθε χρόνος.
πλεῖα ἐλεγχίστων μυσῶν νῦν εἰσὶν ἅπαντα,
ἐκφεύγουσι μόγις σκάνδαλα μακρόβιοι.
αἰτία οὖν ἐστὶν τοῦ ἀχεῖν ὀνομαστὲ Χυτραῖε
οὐδε μία, θυγάτηρ γὰρ σὴ ἄριστα ἔχει.
θυμοβόροι πᾶσαι ἀχρεῖαι ἔασι μερίμναι,
τλημοσύνη δ ᾽ ἅδει εἰν ὀδύνῃσι θεῷ.

Epitaphium
ornatissimae et integerrimae foeminae
Gerdrudis vam Holte,
Coniugis Clarissimi vir, D. Doctoris Iohannis Boukii,
Academiae Rostochiensis Professoris

᾿Ανδρόμεος βίος οὐ τελέθει βίος, αὐτὰρ ἀληθῶς
συμφορα, ἀθλιότης, μόχθος, ὀδυρμὸς, ἄχος.
δακρυχέοντες ἱκάνομεν εἰς ταλαπενθέα κόσμον,
αὖ φάος ἀχθοῦντες λείπομεν ἠελίου.
εὖ γοῦν ἠδὲ σοφῶς σεσοφισμένος εἶπεν ῞Ομηρος·
οὐδὲν ἀκιδνότερον τοῦ βροτοῦ αἶα τρέφει.
κουφίζει δὲ κακῶν ἀγαθοῖσι βροτοῖς τόσον ἄχθος
ἡ εὔφρων ἐλπὶς λιμένος οὐρανίου.
ἐν τῷ εὐφροσύνως ἀγαθοὶ αἰὲν διάγοντες
μέμνηνται χθονίων οὐκ ἔτι δυσφροσυνῶν.
λιμένα ἐς τοῦτον καὶ νῦν χαρίεσσα βεβήκει
θεσπέσιον κλειτοῦ Βουκίου ἥδε δάμαρ,
λιμένος αἰδίου βίου ὅστις ἁμαρτάνει ὧδε,
μίμνει ἀεὶ δειλὸς καὶ πανόλεθρος ἀνήρ,

Epitaphium
Honestissimae atque Laudatissimae Matronae,
Margaretae Barkholts,
Viduae Prudentissimi Viri D. Laurentii Smith,
Reipublicae Rostochianae quondam Senatoris.

Σωφρονέειν, σιγᾶν, οἰκουρεῖν, ἄνδρα γεραίρειν,
κόσμος τῶν ἀλόχων φέρτατός ἐστι φίλων.
τούτου μὴ παρεόντος, ἅπαν κάλλος κενόν ἐστι,
καὶ μᾶλλον βλάπτει ἢ ὀνίνησι δέμας.
τοὔνεκα ἔσκε καλὴ ἅμα καὶ ὄχα εἶδος ἀρίστη
Χαλκέος ἰφθίμου πότνια ἥδε γυνή.
καὶ γὰρ παντοίῃς ἀρετῇσι κεκασμένη ἦεν,
αἵτινες  εὐειδῶν ἀξιαί ἐισ ’ ἀλόχων.
εὐμενέως ταλαοὺς ἥδ ’ εὖ ποίησε πενιχρούς
δείκνυμένη ὁσίοις πράγμασι πίστιν ἑοῖς.
δένδρεον ὠφέλιμον καρποὶ δηλοῦσιν ἄριστοι,
δηλοῦσιν δ ’ ἐσθλοὺς πράγματα ἐσθλὰ βροτούς.
ζώει γοῦν μακάρως ἐν ’Ολυμπτῳ δῖα γυναικῶν,
σῶμα δε κοιμᾶται μέχρι δίκης νεάτης.

Epitaphium
pietate, moribus, ac forma ornatissimae virginis,
Elisabetae, filiae Honestissimi Viri,
nobilitate generis ac virtute praestantis,
Nicolai Paselick, primarii Civis Rostochiensis.

Φιλτάτη ἐστὶ θεῷ ἁγνεία παμμεδέοντι,
ἠδὲ ἄνευ ταύτης οὔτις ὁρῶσι Θεόν.
ὡς γὰρ ἐκεῖνος ἔφυ ἅγιος, καθαρός τε καὶ ἁγνός,
οὕτω χρὴ χ ᾿ ἁγνοὺς ἔμμεναι εὐσεβέας.
ἁγνείαν ὁσίην ταύτην καὶ κάλλος ἄριστον
αὕτη παρθενικὴ καλλιπάρηος ἔχε.
πρῶτα θεὸν τίεσκεν, ἔπειτα δ ῾ ἑοὺς γενετῆρας,
καὶ σεμνὸν τήρουν πάντοθι σῶμα καλόν.
ὅττι καλὸν, φίλον ἐστὶ, τόδ ᾿ οὐ καλὸν, οὐ φίλον ἐστίν,
ὡς ὁ Θέογνις ἀνὴρ δῖος ἀοιδὸς ἔφη.
ἀλλὰ καλὸν μηδὲν τελέθει, τὸ μὴ ἁγνὸν ὑπάρχει,
ὀρθὸν γὰρ κάλλος μὴ ὀπὸς, ἀλλὰ φρενῶν.

Epitaphium
Duarum praestantissimarum Foeminarum
Annae Bungners, & Elizabetae Nizebants.
Coniugum Clarissimi viri, M. Simonis Leopoldi,
Illustrissimorum Principum Megapolensium &c. Secretarii:
quarum prior ante biennium, posterior vero proxima aestate
peste extincta est.

Κτῆμα πόσει ἀγαθῷ ἐστὶν προφερέστερον οὐδέν
ἠὲ γυνὴ ἀγαθὴ ἀζομένουσα Θεόν,
ἣ κλυτὸν ἀνδρα φιλεῖ, οἰκήιά τ ' ἔργα κομίζει,
καὶ φόβῳ ἐν θείῳ κάλλιμα τέκνα τρεφει.
τοιαῦται δ ' ἦσαν Σιμῶνος, φαιδίμου ἀνδρός
εὐειδῶς ἄλοχοι, αἱ θάνον εὐσεβέως.
καὶ γὰρ ἔσαν γενεὴν ἐραταὶ, καὶ εἶδος ἄμωμοι,
ἀγλαὰ εἰδυῖαι ἔργα εὐπρεπέως.
δώροις καὶ πολλοῖς ἄλλοισι κεκασμένη ἦσαν,
τῇς θείῃς ἀρετῆς, δῶρα αἵ εἰσι φρενῶν.
εὐσεβία, σιγή, σοφίη, γλυκυθυμία, αιδώς,
ἔξοχα κοσμοῦσιν θηλυτέρας ἀλόχους ·
οὗτος μὲν πανάριστος ἁπάσων ἐστὶ γυναικῶν
εὐζώνων κόσμος προιξ τ ' ὄχα κεδνοτάτη,
ἥντινα μὴ τῇς θυγατέρεσσι δίδουσι τοκῆες,
αὐτὰρ πανδυνάτου δωρεά ἐστι Θεοῦ.

## Epitaphium
## Prudentissimi Viri,
## D. Laurentii Breiden,
## Senatoris Rostochiensis

κοινὸν ἔφυ ἀγαθὸν μέγα σύμφερον ἐν πτολιέθροις
σύμβουλος λογιος, φαίδιμος, ἠδε σοφός,
ὃς λεύσσων φρεσὶν ᾗσιν, ἅμα πρόσσω καὶ ὀπίσσω
πρήγματα, εὔθυνεν πάντα λόγοισι Θεοῦ.
βουλευτὴς τοιοῦτος ἔην Λαυρέντιος οὗτος
῾Ροστοχικῆς πόλεως ποικιλόμυθος ἀνήρ.
τούνεκα νῦν χαίρει ἀγαθῇς βουλῇσιν ἐκείνῃς,
τῇς ἐπὶ γῆς πολλοῖς αὐτὸς ἄρηξε βροτοῖς.
ἠδὲ πόνων πολλῶν σφετέρων χαλεπῶν τε μεριμνῶν.
νῦν Θεόθεν καρπὸν λαμβάνει εὐπρεπέα.
ὡς Θεὸς ἀμπλακίας ὀλοῇς ποινῇσι κολάξει,
οὕτως ἀντ ᾿ ἔργων δῶρα δίδωσι καλῶν.

Epitaphium
Reverendi Viri, M. Caspari Leunculi,
Ecclesiae Rostochiensis ad S. Jacobum Ministri.

Ὅς ποτι εὐσεβίην ἄλλους παιδεύει ἀμέμπτως
λάμψει ἐν οὐλύμπτῳ ὡς καλὰ ἄστρα πόλου.
ἐν θυμῷ γοῦν χαῖρε Λέων πολὺ φίλτατε ἀνδρῶν,
χαῖρε νόῳ καὶ ἀεὶ εὔφρονα θυμὸν ἔχε.
οἳ γὰρ ἔασι πόνοι σοι πάγχυ λελασμένοι ἐσθλοί,
ἐν τῷ παιδεύειν οὓς κρατερῶς τέλεσας.
μισθόν σοι δώσει ὁ Θεοῦ παῖς ἔξοχ ’ ἄριστον
ἰξόμενος κρίνειν πᾶν γένος ἀνδρόμεον.
πᾶς ποιμὴν ἀγαθὸς διδαχὴν Θεοῦ ὀρθοτομείτω,
καὶ Θεὸς αὐταρκῶς ἀνταποδώσει ἐύς.

Epitaphium
Primariae atque integerrimae matronae, Margaretae Waren, Coniugis
Doctissimi Viri, M. Bernhardi Mensingi,
Professoris Academiae Rostochiensis.

Οὐρανὸς ἀστερόεις καὶ χθὼν εὐρεῖα ὀλεῖται,
ὄλλυται ἀθανάτου οὔποτε ῥῆμα Θεοῦ,
ὡς γὰρ ἀκίνητός τε καὶ ἀίδιος Θεός ἐστιν,
οὕτω ῥῆμα Θεοῦ ἔμπεδόν ἐστιν ἀεί.
τοῦτο οἳ ἐκ θυμοῦ ἐπὶ γαίης ἀμφαγαπῶσιν,
αἰὲν συζῶσιν παμμεδέοντι Θεῷ,
τοὔνεκεν εὐδαίμων τελέθεις γύναι εὐπατερείη,
τὴν διδαχὴν θείην ἣ φιλέεσκες ἀεί.
καὶ γὰρ ἐδάπτεο νῦν μὲν ὑπὸ χθονός εὐρυοδωείης,
ἡ δὲ τεὴ ψυχὴ ἐν χερί ἐστι Θεοῦ.
οὐ κράτος, οὐ πλοῦτος βροτὸν ἐκ θανάτοιο σαώζει,
ἐκσώζει δὲ κακῶν ῥῆμα Θεοῖο μόνον.

Epitaphium
Celeberrimi Viri, Bernhardi Kroen,
Patricii Rostochiensis

Πολλάκις ἀνθρώπους θανατόνδε καλεῖ Θεὸς ἐσθλοὺς,
μήποθ ' ὁρῶσι κακὰς θλίψεας ἐρχομένας.
τῇς ἐθέλει δικάσαι μάλα ̓ιθείῃσι δίκῃσι
σχέτλια, γήγενέων καὶ κακὰ ἔργα βροτῶν.
αἶρει οὖν ἐπὶ οἷ ἐσθλοὺς βουλῇς ἀγαθῇσιν,
ἀντὶ γόων σμικρῶν δοὺς χάριν ἀίδιον.
ἐστὶ δὲ λευγαλέος θάνατος πύλη, εὐσβέσιν μὲν
πρὸς καλὸν Οὔλυμπον, πρὸς δ ' Ἔρεβος μιαροῖς.
ὅστις ἅπαξ κατέβη κρυεροῦ δόμον ἅιδος εἴσω,
ἐκ τούτου αὖτις σώζεται οὐδέποτε.
εὔφρονα γοῦν ἔχε θυμὸν ἀεὶ Βερναρδὲ ἀγαυέ.
ἐκ θανάτου γὰρ ἔβης εἰς βίον οὐράνιον.
οὐ μνᾶται γλυκύων, ὃς μήποτε γεύσατο πικρῶν.
οὐδὲ πρὸ τῆς νίκης τις στεφανοῦται ἀνήρ.

Epitaphium
Pii et Docti Viri,
M. Iohannis Sommerfelt, Civis Rostochiensis:
et honestae Foeminae,
Magdalenae Everdes, Uxoris eius

Τέχνη τῶν τεχνῶν πολὺ φερτάτη εστὶν ἀπάσων
εἰδέναι εὖ θνήσκειν καὶ τὰ ὕπερθε φρονεῖν.
ταύτην ὅττι καλῶς ἐδάη ὅδε θέσκελος ἀνήρ,
νημερτὲς συνετὸς καὶ πολύιδρις ἔην.
ἤδει γὰρ κόσμῳ ἐνὶ σχετλίῳ εἶναι ἅπαντα
ἀσθενῆ ἀτρεκέως καὶ ὀλιγοχρόνια,
θησαυρὸν δὲ μόνον τελέθειν ἐν ᾿Ολυμπῳ ὕπερθεν
ἔμπεδον, ἀίδιον, χρήσιμον, εὐσταθέον.
ἔμμορε τοιούτου ἀγαθοῦ ἀναφαιρέτου ἤδη
ἐσθλὸς ᾿Ιωάννης, ἠδ ᾿ ἐρόεσσα γυνή.
Χριστῷ ὅστις σωτῆρι πεποιθὼς θνήσκει, ἀληθῶς,
μίμνει ἀεὶ μάκαρος, πλούσιος, ἀθάνατος.

Epitaphium
Venerandi Viri, D. Matthiae Spretwischii,
Fidelissimi Concionatoris Wismariensis

Κοσμήτωρ τάφου, καὶ ξένος

Ξ. Εἰπέ μοι εἰρομένῳ φίλε, τίς θνητῶν ἐνὶ τῷδε
σήματι κοιμᾶται σμικρῷ ἐπιχθονίων;

Κ. εὐμενέως καταλέξω, ἐπεὶ σὺ με τοῦτ ’ ἐρεείνεις.
Ματθίας κεῖται ἐνθάδ ’ ἀγαιὸς ἀνήρ.
ὃ διδαχὴν θείην ἄλλους ἐδίδαξεν ἀκριβῶς,
ἠδὲ τύπος πιστῶν ἔπλετο εὐσεβέων.

Ξ. φεῦ φεῦ ὡς μάλ ’ἀεικῶς αἵρεις μοῖρα κραταίη
ἀνθρώπους ἀγαθοὺς ὠφελίμους τε βροτούς.
Ματθίου ζώεσκεν ἐπὶ χθονὶ φέρτερος οὐδείς,
νῦν δὲ τοσοῦτος ἀνὴρ ὤλετο κηρὶ δαμείς.

Κ. μὴ θαύμαζε λίην φίλε τοῦτο, καὶ οὐκ ἀγανάκτει,
ζωὸς ἀναζήσει, ὃς θάνε θνητὸς ἐών.
Οὐκ αἰὼν μακρὸς τίκτει κλέος, αὐτὰρ ἄμωμος
ζωὴ εὐκλείην προσφέρει ἀθάνατον.

Sapphicum

De Causa Pestis, et eiusdem mitigatione impetranda a Deo: scriptum ruri, cum nunciatum esset, multos Egregios viros: Ioachimum Kolerum, Franciscum Nacken, Henricum Kock, Oswaldum Hagemeisterum: Ioachimum Braeckwagen: Iohannem Wulvestorp: Martinum Engelerum: et similes alios Homines integerrimos, Peste in urbe extinctos esse.

Λοιμὸς οὐδεὶς αὐτομάτως ἱκάνει,
ἀλλὰ νημερτὲς τελέθει Θεοῖο
ῥάβδος, ᾧ θνητῶν μερόπων κολάζει
σχέτλια ἔργα.

λοιμὸς οὖν οὔτε καλεῖ ἕκαστον
ἄνδρα πρὸς θείην μετάνοιαν ἐσθλόν,
ἠδὲ δείκνυσιν χόλον αἰνὸν ἁγιοῦ
ἄμμι θεοῖο.

λοιμὸς ἁρπάζει ἀγαθοὺς μάλιστα,
φείδεται δειλῶν δολερῶν τε θνητῶν,
οἳ χθονὸς δίης τελέθουσιν ἄχθος,
θαῦμα ἰδέσθαι.

λοιμὸς ἀνθρώπους χαλεπὸς μὴ αἰρῇ
πάντας ἐνδόξους ἀρετὴν τ ’ ἀρίστους,
χρὴ Θεὸν πυκνῶς δυνατὸν παραιτεῖν
σώφρονι θυμῷ.

λοιμὸς οὐκ ἄλλους ὅδε φαρμάκοισι
σεύεται ἡμῶν ἀπὸ τῶν καρήνων,
ἠὲ ἀνθρώπων ἀγαθῶν ἐπευχῇς,
καὶ μετανοίᾳ.

λοιμὸς εὐχῇσιν τρέπεται καλῇσιν
ἐς φυγὴν, ὥσπερ φυγαδεύει ὦκα
τῶν μελισσάων γενεὴν ὁ κάπνος
ἠεροφοίτων.

λοιμὸς ὦς πολλῶν ἀγαθῶν ἐλύπῃς
ἦτορ ἀνθρώπων δυνάμει βίῃ τε,
τῇ ἀποκτείνεις τρομεροὺς γέροντας,
καὶ νεανίσκους.

λοιμὸς ἀνθρώπων μερόπων σκεδάζει
συλλόγους χρηστοὺς συνόδους τε ̓ιρὰς,
ἐν σχολῇς θείῃς μεγάλοις τε ναοῖς
καλλιθεμέσθλοις.

λοιμὸς οἴκους εὐκτιμένους τε αὐλὰς
ποιέει θνητῶν κρατερῶς  ἐρήμας,
καὶ φίλους πολλοὺς ἐπὶ γῆς ἀποσπᾷ
νηλέι θυμῷ.

λοιμὸς ἄχρηστος γεραροὺς διχάζει
συγγάμους καὶ συγγενέας φίλους τε,
τοὺς κασιγνητοὺς, τοκέας γεραιούς,
καὶ φίλα τέκνα.

λοιμὸς εἰ τίκτει κακὰ τόσσα θνητοῖς,
Χριστὲ, νῦν πρόφρων ἐλέαιρε ἡμᾶς,
καὶ νόσον πικρὴν σκέδασον κράτιστε
δῶτερ ἐάων.

λοιμὸς ἡμᾶς μήποτε εἰν ἀδείᾳ
ἢ κακίστῃ δυσσεβίῃ λάβῃσι,
δὸς τεοῖς τέκνοις γλυκύθυμε ἡμῖν
σῶτερ ’Ιησοῦ.

Epitaphium Sophiae
Filiolae Doctoris Davidis Chytraei,
scriptum a M. Johanne Posselio.

ὡς ῥόδον ἀκμάζει ὀλίγον χρόνον εἶδος ἄριστον
ὀδμὴ καὶ κάλλος δ ʼ ὄλλυται ὅττι ἔχει,
οὐδέ τι ἄλλο μένει, βάτος ἢ μόνος αἰσχρός ʼιδέσθαι,
ὃς κατὰ μιαρὸν ὅμως ὄλλυται οὐτίδανος ·
οὕτω χ ʼ οἱ μέροπες πολυδάκρυτοι ἄνδρες ἅπαντες
τήκονται χαλεπῇ μοίρᾳ ἀποφθίμενοι.
οἴχεται ἡ ζωή, νειρὸν δέμας ἐν χθονὶ μίμνει,
λύεται εἰς γαῖαν καὶ τόδε ἐξαπίνης.
Αὐτὰρ νηπίαχοι μάκαρες τελέθουσι ἐκεῖνοι,
νάματος οἳ ἔλαχον λύτρον ἁμαρτανίβου.
Ὄλβιοι ἀτρεκέως καὶ ἔασιν ἐκεῖνοι ἁπάντες
οἵτινες ἔγνωσαν Χρίστον ἀλεξίκακον.
Οὗτοι γὰρ παθέων τε γόων παύοντες ἁπάντων
ἐν κόλπῳ ʼΑβραὰμ ζῶσι πατρὸς γεραροῦ.
ʼΕνθάδε καὶ Σοφία θυγάτηρ κλειτοῖο Χυτραῖου
νόσφι μεριμνάων εὐφροσύνως διάγει.
Ἡ Σοφία σοφίας ἤδη ἀπολαύει ἀληθοῦς
μακρῷ ἐν Οὐλυμπῳ σεμνολογοῦσα Θεὸν.
Οὐρανῷ εἰν εὐρεῖ θυγάτηρ Θεὸν ἤδη ἐπαινεῖ
ὃν τιμᾷ ὁ πατὴρ ἐν χθονὶ τῇδε Δαυίδ.
Ταῦτ ʼ οὖν φραζόμενος φρεσὶ σῆς ονομάστε Χυτραῖε,
κηδέα ἐκ θυμοῦ βάλλεο πάντα τεοῦ.

Οὐ γὰρ ὄλωλε κόρη τεὴ, ἀλλ ’ ἐς ἀληθῆ ἀρίστην
πατρίδα μιν προίης, ὦ φίλε, ἡμετέρην.
Κεῖσε καὶ οἰχήσῃ τάχα τύνη πολλὰ μογήσας
’Αλγεα, καὶ καμάτους, θυμοβόρους τε πόνους.
Καὶ μετὰ εὐφροσύνης σὺ ἐσόψεαι αὖθι μεγίστης
τὸν γενετῆρα φίλον, μητέρα, ἠδὲ κόρην.

Epitaphium
Reverendi Senis, M. Georgii Reichen,
Pastoris Ecclesiae Rostochiensis
ad S. Nicolaum

Αἰδεῖσθαι κέλεται ἡμᾶς Θεὸς ἠδὲ γεραίρειν
ἄνδρας πρεσβυτέρους καὶ πολιοκροτάφους.
πρεσβύτερος γὰρ ἄνηρ πολλῶν ἀντάξιος ἄλλων
ὁπλοτέρων, τοῖσιν κοῦφος ἔνεστι νόος.
εἰσὶ δὲ πρεσβῆες πολυτιμηέστατοι οὗτοι,
ἐν βίῳ οἱ πολλοῖς ὠφελέουσι βροτοῖς.
τοῖος ἐπεὶ ὁ Γεώργιος ἔσκεν  ἀνὴρ μεγαλήτωρ,
αἴνου καὶ δόξης ἄξιός ἐστι θανών.
καὶ γὰρ μὴ μοῦνον πολιὸς τῷ γήραι ἔσκεν,
ἀλλὰ Θεοῦ πιστὸς δηθὰ σύνεργος ἔην.
λαοσάῳ Χριστῷ πολλὸν συλλέξαθ ’ ὅμιλον,
κήρυξ ὀτρηρὸς Χριστοῦ ἄναιτος ἐών.
ἄσθενες οὖν μαλακῶς εὕδει νῦν σῶμα γέροντος,
ζῇ δὲ ἐν Οὐλύμπῳ ψυχὴ ἄμεμπτος ἀεί.

Epicedion
Clarissimo Viro, D Philippo Melanthoni
Praeceptori suo, die 19. Aprilis pie defunctio, scriptum
a
M. Iohanne Posselio.

Θεῖα ὑπάρχουσιν σημεῖα πολύκλυτα πολλὰ
τῆς ἐλεημοσύνης μειλιχίης τε Θεοῦ.
τεῦξε γένος μερόπων ἵν᾽ ἐῇ εἰκὼν φίλη ἀυτοῦ
τεῦξέ τε Οὐλύμπον, θαῦμα ἰδέσθαι ἄγαν.
ἄνθεσι κόσμησεν γαῖαν δένδροις τε φύτοις τε
ζώοις τ᾽ ἀλλοίοις, ἠδὲ ἔδωκε βροτοῖς.
καὶ μετέπειτα ἐὸν φίλον υἱὸν ἔπεμψεν ᾽Ιησοῦν
μουνογενῆ, ἵνα ᾖ λυτρον ἀτασθαλιῶν,
ἠδ᾽ ἐκ τοῦ θανάτοιο λύῃ ᾽Ερέβευς τε κακοῖο
φῦλον ἐπιχθονίων, ὅττ᾽ ἀπάτησε Σατάν.
ταῦτα μὲν ἄμμι ἔφυ μάλα χρήσιμα δῶρα ἐσαίει
ἔμπεδοι ἠδ᾽ αὐτοῦ μαρτυρίαι ἐλέου.
τοῦτο δὲ καὶ τελέθει τεκμήριον οὔπω ἔλαττον
μαρτυρία τε καλὴ τοῖο πόσοιο Θεοῦ,
ὅττι ἐνὶ σφετέρῃ ᾽Εκκλησία ἄνδρας ἔγειρε
τοὺς ἐπανορθῶντας ῥῆμα τὸ θεσπέσιον.
πολλάκι γὰρ Σατανᾶς ἐχθρὸς φθείρει καὶ ἀμαυροῖ
ῥῆμα θεόπνευστον, γράμματα οὐράνια.
καὶ τὰ ζιζάνια σπείρει σίτου καθυπερθε,
θνητοὺς ἐξαπατῶν αἱμυλίοισι λόγοις.
τούτου ὅπως ἀπάτας δηλῶσι κακὰς, μεγαθύμους
πέμψεν ἀεὶ ἄνδρας παμμεδέων ὁ Θεός.

τοῖος ἔην σώφρων ᾿Ηλίας ἔξοχ ᾿ ἄριστος,
τοῖος ᾿Ιωάννης πρόδρομος ἔσκεν ἀνήρ,
ἀτρεκέως καὶ ἔην τοῖος Λουτῆρ ὁ νοήμων
πιστότατος θεράπων παγγενέταο Θεοῦ.
οὗτος γὰρ διδαχὴν καθάριζ ᾿ Εὐαγγελίοιο,
ὀρθὴν δεικνύμενος πρὸς τὸν ῎Ολυμπον ὁδὸν.
τῷδε Θεὸς πινυτὸν κοινωνὸν ἔδωκε Φίλιππον,
μικρὸν μὲν τὸ δέμας, τὴν σοφίην δὲ μέγαν.
αὖτε κάθαιρε λόγον, Θεοῦ, αὖθις σμῆχέ τε τέχνας,
οὗτος ἀνὴρ, πηγὰς τοῖο βίοιο καλῶν.
γλώττῃς ὠφελίμοις καὶ τῇ παιδείᾳ ἁπάσῃ
αὖ φάος ἠδὲ χάριν δῶκεν ἀποφθιμένην.
οὐδ ᾿ ἔτι δυνάμενος σφετέρῃ ὀπὶ ἄμμι λαλῆσαι,
νῦν χαρίεντα διὰ γράμματα ἄμμι λαλεῖ,
βίβλια εὐσεβέσιν κλειτὸς κατέλειπε Μελάγχθων
χρήσιμα, καὶ μνήμην εἰσαεὶ ἀθάνατον.
κεῖνος τὴν διδαχὴν σύνεσίν τε νόον τε μέγιστος
σήματι ἐν τούτῳ κεῖται ἀγαυος ἀνήρ.
ἐνθάδε μικρα μέλη κατακρυπτει γαῖα μέλαινα.
ἀλλ᾿ ὁσίην ψυχὴν Οὐρανος εὐρὺς ἔχει.
σοὶ Θεοῦ υἱὲ ἐγὼ φίλ ᾿ ᾿Ιησοῦ δῶτερ ἐάων
εὔχομαι, εὐμενέως νῦν κατάνουσον ἐμοί.
δός σὺ τεῇ τοίους ᾿Εκκλησίᾳ ἁγνῇ ἀγαύους
παιδευτὰς πολλοὺς, ἄνδρας ἐπισταμένους.
ὡς τεὴ αὔξηται βασιλεια οὔνομά θ ᾿ ἱρὸν
αἰὲν τιμᾶται νῦν καὶ ἔπειτα, ᾿Αμήν.

Elegia de Johanne Luccano
Illustrissimi Principis Johannis Alberti,Ducis Megapolensis
Cancellario,
quem Calendis Maii Deus ex hac vita evocavit.

Βέλτιον ἡγεμόνι κλειτῷ κειμήλιον οὐδέν
συμβούλου πιστοῦ καὶ συνετοῖο πέλει,
ὃς λεύσσει τῷ θυμῷ ἅμα πρόσσω καὶ ὀπίσσω,
ἠδὲ δικαιοσύνην εὐσεβίην τε φιλεῖ.
τοῖος ὁ Αἰνείου βουλήφορος ἦεν ᾿Αχάτης
τοῖος ἔην Νέστωρ κλειτὸς ὁ ἡδυεπής ·
τούτοις Λουκᾶνος μὴ μοῦνον ὁμοίιος ἦεν,
αὐτὰρ ὅλως πρόεχεν παντοδαπῆς ἀρετῆς.
ἔσκε γὰρ ἀγχίνοος, πεπνυμένα μήδεα εἰδώς,
μνησίθεος, πιστὸ, πρᾶος, ἄγαν τε ἐύς.
πρὸς τὸ θέλημα Θεοῦ πράξεις δοκίμαζεν ἁπάσας,
πρὸς λόγον οὐράνιον τῆς φρεσὶ βλέψεν ἄει.
οὔποτε τοῦ Θεοῦ ἠδὲ δικαιοσύνης προετίμα
πλοῦτον καὶ δόξαν καὶ φιλία δυνατῶν.
πρήγμασιν ἐν σφοῖσιν τὸ συνειδὸς πᾶσι φυλάξαι
σπούδαζεν καθαρὸν, κυδάλιμόν τε νόον.
οἶδε βροτοῖς πᾶσιν θανέειν πεπρωμένον εἶναι,
οἶδε λόγον δοτέον κριτῇ ἐπουρανίῳ.
ταῦτα δ ᾿ ἀεὶ νοέων ἄσκει ἔργῳ τε λόγῳ τε
εὐσεβίην ἱερὴν θεσπεσίην τε δίκην.
πρῶτα θεὸν τίμα, μετείπειθ ᾿ ἥρωα φέριστον,
κύριον αἰδοῖον κηρὶ φίλησεν ἑόν

κλειτὸν ̓Ιωάννην ̓Αλβερτὸν ποιμένα λαῶν
τῖε φρεσὶν καθαρῶς, ὡς θέμις ἔσκεν, ἑῇς.
καὶ πιδτῶς δούλουσεν ἐκείνῳ μέχρι τελευτῆς,
ὅττι καὶ ἐκπνεύσων ῥήμασι μαρτύρεεν.
αἴθε ἅπαντες τοιοῦτοι βουληφόροι εἶεν
ἄρχων ἐιν αὐλῆς ζῶντες ἀριπρεπέων.
πῆμα κακὸς βουλευτὴς, ὅσσον ἐὺς μέγ ̓ ὄνειαρ,
ἔλλαχε θησαυροῦ, ὃς λάχε μητιέτου.
τὸν Θεὸν ἀίδιον γουνάζομαι αἰὲν ἐόντα,
συμβούλους πολλοὺς ὄφρα διδῷ ἀγαθούς,
ἠδὲ σαῇ ἡμῶν ἐρικυδέα πατρίδα γαῖαν,
τὴν ̓Ενέτων χώραν πυροφόρον γεραρῶν.

## Epitaphium Honestae Matronae Catharinae Isensee

Ὄλβιοι ἀτρεκέως νεκροὶ τελέθουσιν ἅπαντες,
οἵτινες ἐν Χριστῷ κάτθανον εὐσεβέως.
οἱ γὰρ ἐυφροσύνης ζωὴν διάγουσ ’ ’Αβραάμου
ἠδέι ἐν κόλπῳ τοῦ πολιοκροτάφου.
οὕτω χ ’ ἥδε γυνὴ κεδνὴ ὧδ ’ ἱερὸν ὕπνον
κοιμᾶται, ψυχὴν δ ’ οὐρανὸς εὐρὺς ἔχει.
ἔνθεν λαόσοον τὸν ’Ιησοῦν μίμνομεν, ἠδὲ
συμπάσων ὀδυνῶν ἔκλυσιν ἡμετέρων.